καὶ ὑπὸ θερμότητος αὐτοῦ βαρυνθεῖσα.
5 σκιᾶς γὰρ πάροδος ὁ καιρὸς ἡμῶν,
καὶ οὐκ ἔστιν ἀναποδισμὸς τῆς τελευτῆς ἡμῶν,
ὅτι κατεσφραγίσθη καὶ οὐδεὶς ἀναστρέφει.
6 δεῦτε οὖν καὶ ἀπολαύσωμεν τῶν ὄντων ἀγαθῶν
καὶ χρησώμεθα τῇ κτίσει ὡς ἐν νεότητι σπουδαίως·
7 οἴνου πολυτελοῦς καὶ μύρων πλησθῶμεν,
καὶ μὴ παροδευσάτω ἡμᾶς ἄνθος ἔαρος·
8 στεψώμεθα ῥόδων κάλυξιν πρὶν ἢ μαρανθῆναι·
9 μηδεὶς ἡμῶν ἄμοιρος ἔστω τῆς ἡμετέρας ἀγερωχίας,
πανταχῇ καταλίπωμεν σύμβολα τῆς εὐφροσύνης,
ὅτι αὕτη ἡ μερὶς ἡμῶν καὶ ὁ κλῆρος οὗτος.
10 καταδυναστεύσωμεν πένητα δίκαιον,
μὴ φεισώμεθα χήρας
μηδὲ πρεσβύτου ἐντραπῶμεν πολιὰς πολυχρονίους·
11 ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς νόμος τῆς δικαιοσύνης,
τὸ γὰρ ἀσθενὲς ἄχρηστον ἐλέγχεται.
12 ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστιν
καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν
καὶ ὀνειδίζει ἡμῖν ἁμαρτήματα νόμου
καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν·
13 ἐπαγγέλλεται γνῶσιν ἔχειν θεοῦ
καὶ παῖδα κυρίου ἑαυτὸν ὀνομάζει·
14 ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν,
βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος,
15 ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ,
καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ·
16 εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ,
καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν·
μακαρίζει ἔσχατα δικαίων
καὶ ἀλαζονεύεται πατέρα θεόν.
17 ἴδωμεν εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς,
καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ·
18 εἰ γάρ ἐστιν ὁ δίκαιος υἱὸς θεοῦ, ἀντιλήμψεται αὐτοῦ
καὶ ῥύσεται αὐτὸν ἐκ χειρὸς ἀνθεστηκότων.
19 ὕβρει καὶ βασάνῳ ἐτάσωμεν αὐτόν,

$5^1$ καιρος] βιος B*A$^c$ || $6^1$ και > A | $6^2$ κτησει A | εν νεοτητι compl.] εν > BS$^c$, νεοτητος S*A || $7^2$ ημας] με S*† | εαρος] αερος BS || post 8 add. Fr. ex La stichum *nullum pratum sit quod non pertranseat luxuria nostra* || $9^1$ εστω] -τε S† i. e. -ται (sic pau.) | $9^3$ ουτος] ημων A† || $10^3$ πρεσβυτερου A || $12^1$ ενεδρευσ.] + δε BS$^c$ | $12^3$ αμαρτ.] pr. τα S† | $12^4$ επιφημιζεται B$^c$ || $16^1$ ελογισθημεν] εγενηθ. S* || $17^1$] pr. και S*†